Non enim fatigantur, cùm hoc faciunt: eo quòd motus eis non eſt circa contradictionis potētiam (quemadmodum corruptibilibus) ita vt laborioſa eis ſit motus continuatio. Subſtantia nanque materia, & potentia exiſtens, non actu, huius cauſa eſt. Imitantur autem incorruptibilia, illa entia quæ tranſmutantur, vt terra, & ignis: etenim ſemper hæc agunt, ſecundum ſe enim, & in ſe ipſis, habent motum. Cæterùm verò omnes potentiæ, vt determinatum eſt, contradictionis ſunt (quod enim poteſt ſic mouere, poteſt etiam non ſic) quæcunque ſcilicet ſecundum rationem. Irrationales verò, eo ipſo quòd adſunt, & abſunt, contradictionis erunt eædem. Si igitur aliquæ naturæ, ſiue ſubſtantiæ tales ſunt, quales dicunt in ſermonibus ideas, multò magis ſciens aliquid erit, quàm ipſa ſcientia, & motum quàm motus: illa enim magis actus, hæ verò horum potentiæ. Quod igitur actus prior, & potentia, & omni tranſmutatiuo principio eſt, patet.

CAPVT IX.

Qvod autem melior, ac præſtantior, quàm ipſa bona potentia, actus ſit, ex his patebit: quæcunque enim ſecundum poſſe dicuntur, idem eſt potens contraria, vt quod dicitur poſſe ſanum eſſe, idem eſt etiam ægrotans, & ſimul eadem potentia eſt ſanum, & ægrotum eſſe, & quieſcere, & moueri, & extruere, & deſtruere, extrui, & deſtrui. Poſſe itaque contraria, ſimul eſt. Contraria vero ſimul eſſe, impoſſibile eſt: vt ſanum, & ægrotum eſſe: quare neceſſe eſt, vnum eorum bonum eſſe, ipſum autem poſſe vtrunque ſimul, aut neutrum: actus igitur melior. Neceſſe autē eſt etiam in malis, finem, & actum deteriorem potētia eſſe. Etenim potēs eſt idē, ambo contraria. Patet igitur, quod malū nō eſt præter res: malum nāque natura poſterius potentia eſt. Nō igitur quicquam in iis, quæ à principio, & quę perpetua ſunt, malum eſt, neque corruptum. Etenim corruptio de malis eſt. Figuræ quoque actu inueniūtur. Diuidentes nanq. inueniunt. Quod ſi diuiſæ eſſent, manifeſtæ eſſent, nunc autem inſunt potentia. Cur triangulū duo recti? Quia qui circa vnū punctū anguli, duobus rectis æquales ſunt. Si igitur qui circa latus eſt, educeretur, videnti mox eſſet manifeſtū. Cur in ſemicirculo vniuerſaliter rectus? Quia ſi tres, æquales: & qui baſis eſt,

A οὐδὲ κάμνει τοῦτο δρῶντα· οὐ γὰρ περὶ τὴν δύναμιν τῆς ἀντιφάσεως αὐτοῖς, οἷον τοῖς φθαρτοῖς, ἡ κίνησις, ὥστε ἐπίπονον εἶναι τὴν συνέχειαν τῆς κινήσεως. ἡ γὰρ οὐσία, ὕλη καὶ δύναμις οὖσα, οὐκ ἐνέργεια, αἰτία τούτου. μιμεῖται δὲ τὰ ἄφθαρτα καὶ τὰ ἐν μεταβολῇ ὄντα, οἷον γῆ καὶ πῦρ. καὶ γὰρ ταῦτα ἀεὶ ἐνεργεῖ. καθ' αὑτὰ γὰρ καὶ ἐν αὑτοῖς ἔχει τὴν κίνησιν. αἱ δ' ἄλ-
B λαι δυνάμεις, ἐξ ὧν διώρισται, πᾶσαι τῆς ἀντιφάσεώς εἰσι. τὸ γὰρ δυνάμενον ὡδὶ κινεῖν, δύναται καὶ μὴ ὡδί, ὅσα γε κατὰ λόγον. αἱ δὲ ἄλογοι τῷ παρεῖναι καὶ μή, τῆς ἀντιφάσεως ἔσονται αἱ αὐταί. εἰ ἄρα τινές εἰσι φύσεις τοιαῦται, ἢ οὐσίαι, οἵας λέγουσιν οἱ ἐν τοῖς λόγοις τὰς ἰδέας, πολὺ μᾶλλον ἐπιστῆμον ἄν τι εἴη, ἢ αὐτὴ ἐπιστήμη, καὶ κινούμενον, ἢ κίνησις. ταῦτα γὰρ ἐνέργειαι μᾶλλον, ἐκεῖναι δὲ δυνάμεις τούτων.
C ὅτι μὲν οὖν πρότερον ἡ ἐνέργεια, καὶ δυνάμεως καὶ πάσης ἀρχῆς μεταβλητικῆς, φανερόν.

Κεφάλαιον θ.

Ὅτι δὲ καὶ βελτίων καὶ σπουδαιοτέρα τῆς σπουδαίας δυνάμεως ἡ ἐνέργεια, ἐκ τῶνδε δῆλον. ὅσα γὰρ κατὰ τὸ δύνασθαι λέγεται, ταὐτόν ἐστι δυνατὸν τἀναντία· οἷον, τὸ δύνασθαι λεγόμενον ὑγιαίνειν, ταὐτόν ἐστι, καὶ τὸ νο-
D σεῖν, καὶ ἅμα. ἡ αὐτὴ γὰρ δύναμις τοῦ ὑγιαίνειν καὶ κάμνειν, καὶ ἠρεμεῖν καὶ κινεῖσθαι, καὶ οἰκοδομεῖν καὶ καταβάλλειν, καὶ οἰκοδομεῖσθαι καὶ καταπίπτειν. τὸ μὲν οὖν δύνασθαι τἀναντία, ἅμα ὑπάρχειν, τὰ δ' ἐναντία, ἅμα, ἀδύνατον. καὶ τὰς ἐνεργείας δὲ ἅμα ἀδύνατον ὑπάρχειν, οἷον, ὑγιαίνειν καὶ κάμνειν. ὥστ' ἀνάγκη τούτων θάτερον εἶναι τἀγαθόν. τὸ δὲ δύνασθαι ὁμοίως ἀμφότερον, ἢ οὐδέτερον. ἡ ἄρα
E ἐνέργεια, βέλτιον. ἀνάγκη δὲ καὶ ἐπὶ τῶν κακῶν τὸ τέλος καὶ τὴν ἐνέργειαν εἶναι χεῖρον τῆς δυνάμεως. τὸ γὰρ δυνάμενον, ταὐτὸ ἄμφω τἀναντία. δῆλον ἄρα ὅτι οὐκ ἔστι τὸ κακὸν παρὰ τὰ πράγματα. ὕστερον γὰρ τῇ φύσει τὸ κακὸν τῆς δυνάμεως. οὐκ ἄρα οὐδ' ἐν τοῖς ἐξ ἀρχῆς καὶ τοῖς ἀϊδίοις οὐθὲν ἐστιν, οὔτε κακόν, οὔτε ἁμάρτημα, οὔτε διεφθαρμένον. καὶ γὰρ ἡ διαφθορὰ τῶν κακῶν ἐστιν. εὑρίσκεται δὲ καὶ τὰ διαγράμ-
F ματα ἐνεργείᾳ. διαιροῦντες γὰρ εὑρίσκουσιν. εἰ δ' ἦν διῃρημένα, φανερὰ ἂν ἦν. νῦν δ' ἐνυπάρχει δυνάμει. διὰ τί δύο ὀρθαὶ τὸ τρίγωνον; ὅτι αἱ περὶ μίαν στιγμὴν γωνίαι, ἴσαι δύο ὀρθαῖς. εἰ οὖν ἀνῆκτο ἡ περὶ τὴν πλευράν, ἰδόντι ἂν ἦν εὐθὺς δῆλον. διατί ἐν ἡμικυκλίῳ ὀρθὴ καθόλου; διότι ἐὰν ἴσαι αἱ τρεῖς, ἥ τε βάσις δύο, καὶ